**ἀντανακλώμενος**

Ioann. in Hermog. *id.* I 1 (RhG VI, p. 128. 12 sqq. Walz) λέγεται καὶ στροφὴ καὶ ἀντίστροφος· στροφὴ μὲν ὁ μείζων , ἀντίστροφος δὲ ὁ ἐλάσσων· ὠνομάσθησαν δὲ ἐπῳδοὶ μὲν ἀπὸ τοῦ ἐπὶ τῷ τέλει ἐπᾴδεσθαι τῷ μέλει· προῳδοὶ δὲ ἀπὸ τοῦ προᾴδεσθαι, μεσῳδοὶ ἀπὸ τοῦ μέσοι ᾄδεσθαι· καὶ στροφὴ μέν, ὅτε πρὸς ἑαυτοὺς ἀντανακλῶνται οἱ στίχοι, ὅθεν καὶ ἀντανακλώμενοι λέγονται εἰς ἑαυτοὺς στρέφοντες καὶ ἀντιστρέφοντες τοὺς διαλεγομένους, ἢ ὅτι περὶ βωμὸς ᾄδονται, ἢ ὅτι ἀπὸ ἀνατολῶν εἰς δύσιν τοῦ χοροῦ κίνησις στροφὴ ὠνόμασται παρὰ τὸ συστρέφεσθαι τὸν χορόν· ἡ δὲ ἐναντία ἀντίστροφος, καὶ ἡ μὲν στάσις ἐπῳδοὺς ᾄδει τελείους. [*E.C.*]